AGE Unit 9 (Middle voice)
CLASSICAL reading

Aristotle *Generation of Animals* 724a20-35
In his study of the reproduction of living things, Aristotle takes a moment to discuss the different ways we use the term “from”:

ἐπεὶ δὲ πολλαχῶς γίγνεται ἄλλο ἐξ ἄλλου—

ἕτερον γὰρ τρόπον ὡς ἐξ ἡμέρας φαμὲν νὺξ γίγνεται

καὶ ἐκ παιδὸς ἀνήρ, ὅτι τόδε μετὰ τόδε·

ἄλλον δὲ τρόπον ὡς ἐκ χαλκοῦ ἀνδριὰς καὶ ἐκ ξύλου κλίνη

καὶ τἆλλα ὅσα ὡς ἐξ ὕλης γίγνεσθαι τὰ γιγνόμενα λέγομεν,

ἔκ τινος ἐνυπάρχοντος καὶ σχηματισθέντος τὸ ὅλον ἐστίν.

ἕτερον δὲ τρόπον ὡς ἐκ μουσικοῦ ἄμουσος

καὶ ὡς ἐξ ὑγιοῦς κάμνων

καὶ ὅλως ὡς τὸ ἐναντίον ἐκ τοῦ ἐναντίου.

ἔτι δὲ παρὰ ταῦτα ὡς Ἐπίχαρμος ποιεῖ τὴν ἐποικοδόμησιν,

ἐκ τῆς διαβολῆς ἡ λοιδορία, ἐκ δὲ ταύτης ἡ μάχη·

ταῦτα δὲ πάντα ἔκ τινος ἡ ἀρχὴ τῆς κινήσεως.

τῶν δὲ τοιούτων

ἐνίων μὲν ἐν αὐτοῖς ἡ ἀρχὴ τῆς κινήσεώς ἐστιν

οἷον καὶ ἐν τοῖς νῦν εἰρημένοις

(μέρος γάρ τι ἡ διαβολὴ τῆς πάσης ταραχῆς ἐστιν),

ἐνίων δ’ ἔξω

οἷον αἱ τέχναι τῶν δημιουργουμένων

καὶ ὁ λύχνος τῆς καιομένης οἰκίας.

**VOCABULARY**

**ἄλλο –ου τό** other
**ἄμουσος –ου ὁ** unmusical, inartistic
**ἀνδριάς –άντος ὁ** statue
**γιγνόμενον –ον τό** something born
**δημιουργούμενον –ου τό** something crafted
**διαβολή -ῆς ἡ** slander
**εἰρημένον –ου τό** something mentioned
**ἐνάντιον –ου τό** opposite
**ἔνιοι -ων οἱ** some
**ἐνυπάρχον –οντος τό** pre-existing
**ἔξω** outside
**ἐπεί** when, since
**Ἐπίχαρμος –ου ὁ** Epicharmus
(a playwright and philosopher from Sicily)
**ἐποικοδόμησις –εως ἡ** build-up
**ἕτερον –ου τό** different
**ἔτι** still
**καιομένη –ης ἡ** burning
**κάμνων –οντος ὁ** sick
**κίνησις –εως ἡ** movement
**κλίνη –ης ἡ** bed, couch
**λοιδορία –ας ἡ** a screaming fight
**λύχνος –ου ὁ** torch
**μάχη –ης ἡ** battle
**μέρος –ους τό** part
**μουσικός -οῦ ὁ** musical, artistic
**ξύλον –ου τό** wood
**οἷον** for example
**ὅλον –ου τό** whole
**ὅλως** wholly, in all ways
**ὅσον –ου τό** all that, all which
**πάν, πάντος τό** all
**πάσης** (gen sg) **ἡ** all, entire
**πολλαχῶς** in many ways
**σχηματισθέν –έντος τό** shaped
**τἄλλα = τὰ ἄλλα**
**ταραχή -ῆς ἡ** trouble
**ταῦτα** (nom/acc pl) **τό** these
**ταύτης** (gen sg) **ἡ** this
**τέχνη –ης ἡ** skill
**τοιοῦτο –ου τό** a sort of thing
**τρόπος –ου ὁ** way
**ὑγιοῦς** (gen sg) **ὁ** healthy
**ὕλη –ης ἡ** material
**χαλκός -οῦ ὁ** bronze